© www.astrothesaurus.gr

***Περὶ ἰσαναφόρων καὶ ὁμοζώνων***

*Οὐ μόνον δὲ τοῦτο χρὴ ζητεῖν, εἰ ἐν ἀσυνδέτοις εἰσὶ οἱ ἀστέρες καὶ τὰ ζῴδια, ἀλλὰ κἀκεῖνο χρὴ σκοπεῖν, πότερον ἐν ὁμοζώνοις ζῳδίοις εἰσὶν ἢ οὐκ ἐν ὁμοζώνοις, καὶ ἐὰν ἴσην τὴν ἀναφορὰν ἔχωσι ἢ οὐκ ἴσην. εἰ γὰρ ἐν ἀσυνδέτοις μὲν εἶεν ζῳδίοις οἱ ἀστέρες, ὁμοζώνοις δὲ ἢ ἰσαναφόροις, μετριάζεται τὸ κακόν, καὶ οὐκέτι στυγητὸς ἔσται ὁ γεννώμενος. οὐ μόνον δέ, ὅταν εὑρεθῶσι οἱ ἀστέρες ἐν ἀσυνδέτοις ζῳδίοις, μισητὸν καὶ ἐχθρὸν ἅπασι ποιοῦσι τὸ γεννώμενον, ἀλλὰ κἂν ὦσι δύο τινὲς ἢ ἀδελφοὶ ἢ πατὴρ ἢ υἱὸς ἢ ἀνὴρ καὶ γυνὴ ἔχοντες ἐν ἀσυνδέτοις ζῳδίοις τὴν γένεσιν, ἐχθροὶ καὶ πολέμιοι ἑαυτῶν ἔσονται οἱ τοιοῦτοι τὸν ἅπαντα χρόνον.*

*Οἷον ἔστω ὡροσκόπος [ἐν μὲν τῇ τοῦ ἑνὸς γενέσει] ὁ Κριός, [ἐν δὲ τῇ τοῦ ἑτέρου] οἱ Ἰχθύες. ἀσύνδετόν ἐστι τοῦ Κριοῦ ζῳδίου, καὶ ἀσχημάτιστον, ἐπειδὴ διὰ ιβ΄ ἐστι ζῴδια, καὶ ὅσον ἐπὶ τούτῳ ἔχθρας καὶ πολέμους ἕξει τὸ γεννώμενον, ἐὰν ᾖ τις τῶν ἀστέρων ἐν Ἰχθύσι. ἀλλ' ἐπειδὴ ἰσανάφορά εἰσι τὰ ζῴδια, ἀμφότερα γὰρ ἐν κα χρόνοις ἀνέρχονται, μετριάζεται τὸ κακόν·*

*ὡσαύτως δὲ καὶ οἱ ζ΄ ἀστέρες, ἐὰν ἀσύνδετοι ὦσι πρὸς ἀλλήλους, κάκιστοι, εἰ μή τοί γε ἐν ἰσαναφόροις ζῳδίοις εὑρεθεῖεν, οἷον ὁ μὲν ἐν Κριῷ, ὁ δὲ ἐν Ἰχθύσιν, ἢ ὁ μὲν ἐν Αἰγοκέρωτι, ὁ δὲ ἐν Διδύμοις, ἢ ὁ μὲν ἐν Τοξότῃ, ὁ δὲ ἐν Καρκίνῳ, ἢ [ὁ μὲν ἐν] Παρθένῳ, [ὁ δὲ ἐν] Ζυγῷ. ταῦτα γὰρ ὅλα ἰσανάφορα σχήματα ἔχουσι πρὸς ἄλληλα. τὸ αὐτὸ δὲ πάλιν νοητέον, κἂν ἀσύνδετοι μέν εἰσιν οἱ ἀστέρες, ἐν δὲ ὁμοζώνοις ὑπάρχουσι ζῳδίοις καὶ ἰσαναφόροις ζῳδίοις. οὕτως γὰρ μετριασθήσεται τὸ κακόν. οἷον εἰ ὁ μὲν ἐν Κριῷ, ὁ δὲ ἐν Σκορπίῳ, ἀμφότερα γὰρ τὰ ζῴδια οἶκοί εἰσιν Ἄρεως· ἢ <ἐν> Ταύρῳ καὶ Ζυγῷ, ταῦτα γὰρ Ἀφροδίτης εἰσὶν οἶκοι· ἢ ὁ μὲν ἐν Αἰγοκέρωτι, ὁ δὲ ἐν Ὑδροχόῳ, ἄμφω γὰρ οἶκοί εἰσι Κρόνου. τὰ δὲ ἄλλα ὁμόζωνα καὶ σχηματίζουσι ἑαυτά.*